www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΠΟΛΥΚΑΡΠΟΥ, ΕΠΙΣΚΟΠΟΥ ΣΜΥΡΝΗΣ -ΜΕΤΑ ΤΙΝΩΝ ΤΡΟΠΑΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΟΡΓΟΝΙΑΣ, ΑΔΕΛΦΗΣ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ-

(συνεορταζομένων τῇ 23η Φεβρουαρίου)




ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ




**ΤΗ ΚΓ΄ ΦΕΒΡΟΥΑΡΙΟΥ**
**Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Πολυκάρπου,**
**Ἐπισκόπου Σμύρνης**
**καὶ Γοργονίας, ἀδελφῆς τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου.**

**ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ**

Εἰς τό, Κύριε ἐκέκραξα, ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε τῆς Παρθένου ὁ καρπός, καὶ ζωαρχικώτατος σπόρος, εἰς γῆν ἐνέπεσε, τότε σὲ πολύκαρπον, στάχυν ἐβλάστησε, τοὺς πιστοὺς διατρέφοντα, τοῖς τῆς εὐσεβείας, λόγοις τε καὶ δόγμασι, καὶ τῆς ἀθλήσεως, τούτους ἁγιάζοντα θείῳ, αἵματι καὶ ἱερωσύνης, μύρῳ καθαγνίζοντα Πολύκαρπε.

Ἔδυς ἐκ τοῦ κόσμου πρὸς Θεόν, ταῖς μαρμαρυγαῖς ἀποστίλβων, τοῦ μαρτυρίου σου· ἔστης τῆς ἐφέσεως ὡς τὸ ἀκρότατον, ὀρεκτῶν φθάσας Ὅσιε, καὶ τῆς μακαρίας, αἴγλης ἐμφορούμενος· ἧς νῦν ἱκέτευε, πάντας ἐν μεθέξει γενέσθαι, τοὺς τὴν σὴν πανίερον μνήμην, Μάκαρ ἑορτάζοντας Πολύκαρπε.

Ὅτε ἐπὶ ξύλου τοῦ Σταυροῦ, ἡ ἀληθινὴ κρεμασθεῖσα, ὑψώθη ἄμπελος, τότε σὲ κατάκαρπον, κλῆμα ἐξέτεινε, τῇ δρεπάνῃ τεμνόμενον, σεπτοῦ μαρτυρίου, καὶ τοῖς τῶν κολάσεων, ληνοῖς πατούμενον· οὗπερ εὐφροσύνης κρατῆρα, πίστει συγκεράσαντες, Πάτερ, τοὺς σεπτοὺς ἀγῶνάς σου δοξάζομεν.

Τῆς Ἁγίας. Ἦχος α΄. Τῶν Οὐρανίων ταγμάτων.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἀγαθοτάτης σὺ ῥίζης, ἔφυς ἐκβλάστημα, ὑψόφρον Γοργονία, καὶ χαρίσμασι πλείστοις, ἐκόσμησας πανσόφως, βίον τὸν σόν, τοῖς παροῦσι τὰ μέλλοντα, ἐξαγοράσασα Μῆτερ θημωνιάν, ἀρετῶν σου ἐπεστοίβασας.

Οὐ μόνον πίναξ ἐφάνης, μιγάδων Μῆτερ σοφή, ἀλλὰ καὶ τῶν παρθένων, σωφροσύνῃ συζῶσα· παρεῖδες ὡς προσκαίρων τὰ τῆς σαρκός, καίπερ γάμῳ συνδέδεσαι· τῶν οὐρανίων γὰρ πόθῳ τὰ ἐπὶ γῆς, καθ' ἡμέραν καθυπέττατες.

Γοργὸν τὸ βῆμα ἐποίεις, πρὸς ὕψος βλέπουσα, σαὐτὴν ἅρμα ποιοῦσα, Πνεύματος τοῦ Ἁγίου· οὐ μόνον δὲ τοῖς πέλας λύχνος λαμπρός, ἀνεφάνης τοῖς ἔργοις σου, ἀλλὰ τοῖς πᾶσιν σιγῶσα καὶ νῦν φωνεῖς· Ἀγαπήσατε τὸν Κύριον.

Δόξα. Ἦχος πλ.δ'.

Ἡ κατὰ Θεὸν πολιτεία σου, Γοργονία δούλη Χριστοῦ, οὐ φαιδρὰ ἱστορία μυθοπλαστίας ἐδείχθη. Τῇ γὰρ ἐπωνυμίᾳ σου καὶ ὁ τρόπος γρήγορος ἐφάνη, πρὸς Θεοῦ τὴν κατάληψιν. Οὐχ εὑρέθη ἐν σοὶ λόγος ἀργός, οὐδὲ χρόνος ὑπῆρξεν, ὃς οὐκ ἤρτυται τῇ τῆς Τριάδος δοξολογίᾳ. Πάντα ὑποτάξασα τῇ εὐαγγελικῇ προστάξει, πάντων μετρίως μετείληφας, ἀλλὰ καὶ πάντων σοφῶς ὑπερέκεισο ὡς ὑψιβάμων. Διὸ χαίρουσα νῦν ἐν οὐρανοῖς, πρέσβευε δεόμεθα, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.
Ὁ Βασιλεὺς τῶν οὐρανῶν.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

Τὰ Ἀναγνώσματα
Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.
(Κεφ. 43, 9, 14).

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν,

καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ΄ ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἶμι ὁ Θεός, καὶ οὐκ ἐστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ΄ ἀρχῆς ἐγὼ εἶμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ ἅγιος Ἰσραήλ.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
### (Κεφ. 3, 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν, αὐτούς, καὶ ὡς ὁλοκαρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
### (Κεφ. 5, 15-23 & 6, 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ΄ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεὶς καὶ συνέτε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα τοῦ ἁγίου Πολυκάρπου
Ἦχος α'

Εὐφραίνου ἐν Κυρίῳ ἡ ἐν Σμύρνῃ Ἐκκλησία, ὅτι ποιμένα ἄριστον, ὁ Χριστός σοι παρέσχετο. Ὁ γὰρ θεῖος Πολύκαρπος, ὡς ἄλλος ἀπόστολος, τὸ μυστήριον τῆς πίστεως, τῷ οἰκείῳ ὑποδείγματι, πᾶσι διατρανοῖ, καὶ τῇ ἐπελθούσῃ σοι θλίψει, στῦλος καὶ ἑδραίωμά σοι ὤφθη, καὶ πιστὸς ἄχρι θανάτου ἐγένετο, ὑπὲρ τῆς καλῆς ὁμολογίας, καὶ τῆς ζωῆς τὸν στέφανον, ἀξίως ἐδέξατο. Καὶ νῦν τὴν ἄθλησιν αὐτοῦ ἑόρταζε, εὐφροσύνως βοῶσα· Κύριε, δόξα σοι.

Ἦχος β'

Τῇ ἠγαπημένῳ Μαθητῇ μαθητεύσας, πᾶσαν γνῶσιν ἀληθείας μεμύησαι, καὶ ἀπεικόνισα θεῖον, τούτου ἐγένου. Ὅθεν καταλλήλως διέπρεψας, καὶ τοῦ Εὐαγγελίου τὰς τρίβους τοῖς πλανωμένοις ὑπέδειξας, ὡς στόμα θεῖον· καὶ μαρτυρίου τὴν ὁδὸν διανύων ἀνδρικῶς, τοὺς πιστοὺς ἐστήριξας, μὴ πτοεῖσθαι τὸν τύραννον, ἱερομάρτυς Πολύκαρπε· καὶ λογικὸν ὁλοκαύτωμα διὰ πυρὸς προσαχθεὶς τῷ Χριστῷ, τῷ αἰωνίῳ φωτὶ κατέπαυσας, ὑπὲρ ἡμῶν ἀεὶ δεόμενος.

Ἦχος γ'

Ὡς τοῦ Σωτῆρος μιμητής, καὶ ποιμὴν ἀληθής, τὸν περιούσιον λαὸν Ὅσιε, εὐαγγελικῶς ἐποίμανας. Καὶ ἐν θαύμασι δοξασθείς, τῆς ἐν Σμύρνῃ Ἐκκλησίας τοῦ Θεοῦ, ὀφθαλμὸς ἐδείχθης, καὶ ἀκατάσειστον ἔρεισμα, ὡς πλήρης σοφίας καὶ δυνάμεως. Ἐν γὰρ τῷ κράτει Χριστοῦ, ἀνδρεῖον ἐπεδείξω φρόνημα, ἐν γηραλέῳ σώματι, ἐν ᾧ τὸν ἐχθρὸν κατέπληξας, καὶ τοῦ πυρὸς τὴν ὁρμὴν οὐκ ἔδεισας. Καὶ νῦν ἀγγέλοις συνών, ὑπὲρ ἡμῶν ἱκέτευε, ἱερομάρτυς ἀξιάγαστε Πολύκαρπε.

τῆς ἁγίας Γοργονίας. Ἦχος δ'

Τὴν γονικὴν εὐλάβειαν ὡς βάσιν κατέχουσα, δι᾽ εὐσεβείας ἀληθοῦς σεαυτὴν ἀνέδειξας, Γοργονία παμμακάριστε, οἶκον λαμπρὸν τοῦ Θεοῦ. Ὅθεν ὡς πολύφορος ναῦς ἐξ ἀρετῶν πεπληρωμένη, τῷ ἀσαλεύτῳ λιμένι καθώρμησαι, τῆς Βασιλείας τῶν οὐρανῶν, ἔνθα μετὰ τῶν ἁγίων οἰκογενῶν σου, μὴ παύσητε πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, τοῦ Ἱερομάρτυρος. Ἦχος ὁ αὐτός.

Ἀποστολικῷ ζήλῳ κοσμούμενος, ἱεράρχης ὅσιος ἐδείχθης, θεηγόρε Πολύκαρπε. Κλήσει γὰρ εἰσφέρων τὸν τρόπον, καὶ λόγῳ ἰθύνων τὸν βίον, οἷα καρποὺς προσήγαγες λογικούς, τῶν σεσῳσμένων τὴν πληθύν, τῷ ἀθανάτῳ γεωργῷ καὶ Σωτῆρι ἡμῶν. Καὶ τῷ μαρτυρίῳ καρποφορηθείς, σωτηρίαν καρποφορεῖς ἑκάστοτε, καὶ ἔλεος καὶ χάριν, ὡς ἐλαία κατάκαρπος, τοῖς ἐκτελοῦσι τὴν μνήμην σου, ἱερομάρτυς πανθαύμαστε.

Καὶ νῦν.Θεοτοκίον, ὁμόηχον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια, τοῦ Ἁγίου.
Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν Ἀποστόλων ἐγγύς, καὶ φοιτητὴς καὶ κοινωνὸς καὶ ὁμόζηλος, τοῦ θείου Ἐπιστηθίου, παρ' οὗ ἐδέξω σαφῶς, πᾶσαν γνῶσιν Πάτερ ἐπουράνιον, καὶ σκεῦος πολύτιμον, δωρεῶν τῶν τοῦ Πνεύματος, βίῳ ἁγίῳ, καὶ συνέσει θεόφρονι, ἀναδέδειξαι, ἐκ νεότητος Ὅσιε. Ὅθεν ποιμὴν θεόσοφος, καὶ θεῖος διδάσκαλος, τῆς Ἐκκλησίας ἐγένου, τῆς ἐν τῇ Σμύρνῃ Πολύκαρπε, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. *Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.*

Χαίροις, ὁ Ἱεράρχης Χριστοῦ, τῶν ἀρετῶν περιφανὲς ἐνδιαίτημα, ὁ πλήρης σοφίας θείας, καὶ οὐρανίου φωτός, καὶ καρπῶν ἁγίου βίου κρείττονος, Πολύκαρπε ἔνδοξε, ὁ θαυμάτων δεξάμενος, λαμπρῶς τὴν χάριν, τὸ γὰρ πῦρ Πάτερ ἔσβεσας, καὶ κατήγαγες, προσευχῇ ὄμβρον ἄνωθεν· ἔνθεν ὡς ὁλοκαύτωμα, σαὐτὸν προσενήνοχας, τῷ Ἀθλοθέτῃ τελέσας, διὰ πυρὸς τὸν ἀγῶνά σου, αἰτούμενος πᾶσι, σωτηρίαν καὶ εἰρήνην, καὶ μέγα ἔλεος.

καὶ τῆς ἁγίας Γοργονίας

Στίχ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.*

Χαίροις ὦ Γοργονία σεμνή, τῶν γυναικῶν περιφανὲς ἐγκαλλώπισμα· σὺ ὄντως ἐδείχθης οἶκος, θεοειδῶν ἀρετῶν, καὶ Εὐαγγελίου ἐκπληρώτρια. Εὐχαῖς καὶ δεήσεσι, τὸν Χριστὸν περικλείσασα, ἐν τῇ καρδίᾳ, τῶν πτωχῶν μήτηρ γέγονας, διανέμουσα, ἀφειδῶς τὰ προσόντα σοι. Ὅθεν πολλοῖς χαρίσμασι, σαὐτὴν ἐγκοσμήσασα, ἐν ταῖς χερσὶ τοῦ Κυρίου, τὴν σὴν ψυχὴν παραδέδωκας, καὶ νῦν ἱκετεύεις, ὑπὲρ ὅσοι ἐκτελοῦσι, τὴν θείαν μνήμην σου.

Δόξα, τῆς Ἁγίας. Ἦχος πλ. α'.

Τὴν στενὴν βαδίσασα ὁδόν, τὴν θλίψεσι στενουμένην καὶ τοῖς τοῦ βίου λυπηροῖς, νῦν ἐσκήνωσας, Γοργονία, ἐν πλάτει τῆς Βασιλείας τοῦ Θεοῦ. Μηδαμῶς ἐκκλίνασα τοῦ Νόμου Αὐτοῦ, ἔμψυχον ἐδείχθης Εὐαγγέλιον, τοῖς τε ἐγγὺς καὶ μακράν, οὐδὲ κατὰ μικρὸν ὑποστείλασα, τὰ τῆς θεώσεως παλαίσματα. Οὐ γὰρ ζυγὸς ἀνδρός σε ἐβάρυνεν, οὐ μέριμναι τεκνοτροφίας, ἤ τι ἄλλο τῶν τοῦ κόσμου προσκαίρων καὶ φθαρτῶν. Πάντα ὑποτάξασα γενναιοφρόνως τῷ λογισμῷ τῆς εὐσεβείας, ὡς πολυκαλλίκαρπον δένδρον τῆς Ἐκκλησίας ηὐξήθης. Διὸ καὶ ἡμεῖς σὺν τῷ ὁμαίμονί σου πανηγυριστῇ Γρηγορίῳ, ψελλίσματά σοι αἴνων προσφέροντες, αἰτούμεθα πρεσβεύειν, τῷ γλυκυτάτῳ Κυρίῳ, ὅπως γοργῶς συναπολαύσωμέν σοι, τῆς θέας τοῦ παμφώτου Προσώπου Αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι᾽ ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ᾽ εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν.

Ἀπολυτίκιον τοῦ Ἁγίου.
Ἦχος δ΄. Ταχὺ προκατάλαβε. Γερασίμου(+).

Τὴν κλῆσιν τοῖς ἔργοις σου, ἐπισφραγίσας σοφέ, ἐλαία κατάκαρπος, ὤφθης ἐν οἴκῳ Θεοῦ, Πολύκαρπε ἔνδοξε· σὺ γὰρ ὡς Ἱεράρχης, καὶ στεῤῥὸς Ἀθλοφόρος, τρέφεις τὴν Ἐκκλησίαν, λογικῇ εὐκαρπίᾳ, πρεσβεύων Ἱερομάρτυς, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, τῆς Ἁγίας. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Γρηγορίου τοῦ πάνυ, τὴν ὁμαίμονα ᾄσωμεν, ᾄσμασιν ἐνθέοις ὡς τύπον, ἐγκρατείας τῆς σώφρονος. Συζήσασα τῷ φόβῳ τοῦ Θεοῦ, χορεύει νῦν ἐν

πόλοις οὐρανοῦ, Γοργονία ἡ τὸ ὄμμα τὸ ψυχικόν, ἐξόχως ἐκλαμπρύνασα. Δόξα τῷ ἁγιάσαντι αὐτήν, δόξα τῷ θαυμαστώσαντι, δόξα τῷ ἐκμαγεῖον ἀρετῆς, ἐν κόσμῳ θεῖον δείξαντι.

Καὶ νῦν, Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ· ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν.Κάθισμα τοῦ Ἁγίου.
Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Ὡς θεῖος φοιτητής, τοῦ πεσόντος τῷ στήθει, τοῦ πάντων Ποιητοῦ, Ἀποστόλου καὶ μύστης, Χριστοῦ τὸ Εὐαγγέλιον, εὐσεβῶς ἱερούργησας, καὶ ἐν αἵματι, ἱερουργήθης οἰκείῳ, τῷ δοξάσαντι, τὴν σὴν πανίερον μνήμην, Πολύκαρπε ἔνδοξε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τεκοῦσα τὸν Θεόν, μετὰ σώματος Κόρη, καὶ ἄφθορος ἁγνή, μετὰ τόκον φανεῖσα, φθορᾶς κόσμον ἔσωσας, καὶ τὸν ὄφιν ἐνέκρωσας· ὅθεν ᾄδομεν, εὐχαριστήριον αἶνον, τῇ κυήσει σου, τῇ ἀποῤῥήτῳ Παρθένε, καὶ σὲ μεγαλύνομεν.

Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα τῆς Ἁγίας.
Ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τοῦ Χριστοῦ ὁ πόθος σε, ὅλην ἀνῆψε, διὸ ὄμμα ἔτεινες, πρὸς οὐρανὸν τὸ τῆς ψυχῆς, ὅθεν Θεός σε ἠμείψατο, ὦ Γοργονία, πολλοῖς τοῖς χαρίσμασι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Παναγία Δέσποινα, Μῆτερ Κυρίου, τῆς ψυχῆς μου ὄμματα, ἐσκοτισμένα σφαλερῶς, ταῖς σαῖς πρεσβείαις διάνοιξον, ἵνα κατίδω, τὸ φῶς μου τὸν Κύριον.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα τοῦ Ἁγίου.
Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τῆς Σμύρνης τὸν πρόεδρον, καὶ ἱεράρχην σοφόν, τὸν μέγαν Πολύκαρπον, ὡς ἀθλητὴν ἱερόν, συμφώνως τιμήσωμεν· ἔλαμψε γὰρ ἐν κόσμῳ, εὐσεβείας τῇ αἴγλῃ, ἤθλησε δὲ νομίμως, καὶ τὴν πλάνην καθεῖλε, καὶ νῦν ἀπαύστως πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Τὴν φύσιν τὴν ἄστεκτον, ἐν τῇ γαστρί σου Ἁγνή, ἀφλέκτως βαστάσασα, κυοφορεῖς ὑπὲρ νοῦν, Χριστὸν τὸν Θεὸν ἡμῶν, σῴζοντα τῆς κατάρας, τῆς ἀρχαίας τὸν κόσμον, πᾶσι δὲ σωτηρίαν, τοῖς βοῶσι διδόντα· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.
Προκείμενον· Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχος· *Τί ἀνταποδώσομεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν.*

Εὐαγγέλιον, τὸ ἐν τῷ Ὄρθρῳ τοῦ ἁγ.Γεωργίου (23 Ἀπριλίου)
Ὁ Ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τοῦ Ἱεράρχου
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, στιχηρὸν ἰδιόμελον. Ἦχος πλ.β'.
Στίχ. *Ἐλέησόν με ὁ Θεός...*

Ἱερομάρτυς Πολύκαρπε, διακονήσας πιστῶς, τῷ Εὐαγγελίῳ τῆς Χάριτος, ὑπὲρ Χριστοῦ τὴν ζωήν, προθύμως ἔθυσας. Καὶ νῦν τῷ θρόνῳ τῆς μεγαλωσύνης παρεστώς, καὶ τῇ θείᾳ μετοχῇ θεούμενος, σὺν

Ἀποστόλοις ἱεροῖς, καὶ τῇ σεμνῇ Γοργονίᾳ, ἱκέτευε σῴζεσθαι ἡμᾶς, ἐκ πάσης θλίψεως.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου.

**Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·**
*«Τὸν θεῖον Πολύκαρπον ἐν ᾄσμασιν εὐφημήσω».*
Ποίημα ἁγίου Θεοφάνους Νικαίας.

Ὠιδὴ α´. Ἦχος β´. Ὁ εἱρμός.

Δεῦτε λαοί, ᾄσωμεν.
Τῇ τοῦ Χριστοῦ, φωτοχυσίᾳ λαμπόμενος, καὶ τῆς αὐτοῦ ἐλλάμψεως, Πάτερ πληρούμενος, τὴν ζοφώδη ψυχήν μου, καταύγασον θεόφρον, ταῖς ἱκεσίαις σου.

Ὁ φωτισμός, τοῦ σωτηρίου κηρύγματος, τὴν καθαρὰν καρδίαν σου, καθάπερ ἔσοπτρον, ἀκηλίδωτον Πάτερ, ἀστράψας τὰς ἀκτῖνας, πᾶσιν ἐξέλαμψε.

Νόμου καινοῦ, στηλογραφία σὺ γέγονας, ἐγγεγραμμένον ἔχουσα, Πάτερ οὐ μέλανι, ἀλλὰ Πνεύματι θείῳ, τῆς χάριτος τῆς θείας, τὸ Εὐαγγέλιον.

Θεοτοκίον.

Θεὸν ἐκ σοῦ, σωματωθέντα γινώσκοντες, ἄνευ σαρκὸς θελήματος, τὸν πρὸ τῆς κτίσεως, καὶ πρὸ πάντων αἰώνων, κυρίως Θεοτόκον, ὁμολογοῦμεν σε.

Ὠιδὴ γ´. Ὁ εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.
Ἐλαία ψαλμικῶς εἰπεῖν κατάκαρπος, ἐγένου Πολύκαρπε θεοφάντορ, ἐν τῷ οἴκῳ τοῦ Κυρίου σου, ἱλαρότητα φέρων τοῦ κηρύγματος.

Ἰθύνας ἐμμελῶς θεομακάριστε, τὸν νοῦν σου προστάγμασι τοῦ Σωτῆρος, ἐπαξίως ἐχρημάτισας, τῆς αὐτοῦ Ἐκκλησίας ποιμὴν ἄριστος.

Ὁλόκληρον σαὐτὸν Χριστῷ προσήγαγες, ὡς ζῶσαν θυσίαν τῷ μαρτυρίῳ, συνειδήσεως μαρτύριον, προαθλήσας παμμάκαρ δι' ἀσκήσεως.

Θεοτοκίον.

Νεκρώσεως ἡμῶν τὸν χοῦν ἐτίναξας, τεκοῦσα τὴν ὄντως ἀθανασίαν, καὶ στολὰς ἡμῖν ἐξύφανας, ἀφθαρσίας Παρθένε τῇ γεννήσει σου.

Μετὰ τὴν γ' ᾠδήν, Κοντάκιον τῆς Ἁγίας.

Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Σωφροσύνης ἅπαντες, τέμενος ὕμνοις ἐνθέοις, οἱ πιστοὶ τιμήσωμεν, Θεῷ τὴν πεποθημένην· αὕτη γάρ, τὰ παρθενίας ἔργα ἐν γάμῳ, πράξασα, τῷ τῆς Παρθένου Υἱῷ ὀπίσω, ἐκολλήθη ἐκ καρδίας, ψάλλουσα οὕτω· Χριστός μου ἡ δύναμις.

Κάθισμα τοῦ Ἁγίου. Ἦχος πλ. δ΄.
Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν τῆς χάριτος βότρυν ἐν τῇ ψυχῇ, ἀληθῶς γεωργήσας Πάτερ σοφέ, ὡς οἶνον ἐξέβλυσας, τὸν τῆς πίστεως λόγον, τὸν εὐφραίνοντα πάντων, πιστῶν τὴν διάνοιαν, καὶ θαυμάτων ὤφθης, ἀπέραντον πέλαγος· ὅθεν καὶ Μαρτύρων, καλλονὴ ἀνεδείχθης, πυρὶ τελειούμενος, καὶ φωτὸς ἀξιούμενος, ἀϊδίου Πολύκαρπε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Κάθισμα τῆς Ἁγίας, ὅμοιον.

Ἐκ Θεοῦ εὐμοιρήσασα γενεᾶς, φοβουμένων τὸν Κύριον ἀληθῶς, καρπὸς ἀξιότατος, Γοργονία ἐβλάστησας. Οὐ δεσμός σε τοῦ γάμου, οὐ

κόσμου τερπνότητες, ἀφελεῖν ἐκ ψυχῆς σου, οὐράνιον φρόνημα, ἴσχυσαν οὐδόλως, διὸ Μῆτερ ἐφάνης, Τριάδος ἁγνότατον, ἐνδιαίτημα πάντων τε, ἀγαθῶν πολυέραστον, οἴκημα ὁσία σεμνή, Ἧι μὴ παύσῃ πάντοτε πρεσβεύουσα, ὑπὲρ πάντων τῶν ὅσοι, τελοῦσι τὴν μνήμην σου

Καὶ νῦν. Θεοτοκίον.

Τοῦ Ἡλίου νεφέλη τοῦ νοητοῦ, θείου φέγγους λυχνία χρυσοφαής, ἄσπιλε ἀμόλυντε, ὑπεράμωμε Δέσποινα, τὴν σκοτεινὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, τῆς ἀπαθείας αἴγλη, καταύγασον δέομαι, καὶ μεμολυσμένην τὴν καρδίαν μου πλῦνον, ῥοαῖς κατανύξεως, μετανοίας τε δάκρυσι, ἵνα πόθῳ κραυγάζω σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι, σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Ὠιδὴ δ΄. Ὁ εἱρμός. Εἰσακήκοα Κύριε.

Πολυκαρπίαν φέρουσα, τῶν ἀρετῶν πολύκαρπος φυτεία, τῷ Δεσπότῃ ὤφθης, πάτερ Πολύκαρπε.

Ὁλοκαύτωμα τέλειον, καὶ καθαρὰ θυσία προσηνέχθης, τῷ Σωτῆρι πάντων, πάτερ Πολύκαρπε.

Λαὸν εὐσεβῶς Ὅσιε, καθοδηγῶν πρὸς φῶς θεογνωσίας, τὸν τῆς ἀθεΐας ζόφον ἀπήλασας.

Ὑμνολογοῦμεν Ἔνδοξε, τὴν τῆς ψυχῆς στεῤῥάν σου καρτερίαν, καὶ τῶν σῶν ἀγώνων τὸ ἀκαθαίρετον.

Θεοτοκίον.

Καταλάμπρυνον Ἄχραντε, τὴν ζοφερὰν ψυχήν μου τῷ φωτί σου, ἡ τὸ φῶς τεκοῦσα τὸ ἐνυπόστατον.

Ὠιδὴ ε΄. Ὁ εἱρμός. Ὁ τοῦ φωτὸς χορηγός.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Αἴγλη τοῦ Πνεύματος σύ, καταλαμπόμενος τὸν νοῦν Ὅσιε, συμβολικῶς, πυρὶ φλεγομένῳ, σαφῶς ἐμυήθης, τὴν διὰ πυρός σου, θέοφρον τελείωσιν.

Ῥεῖθρον ἐδέξω ζωῆς, ὡς ἐκ χειμάῤῥου τῆς τρυφῆς Ὅσιε, τῷ μαθητῇ τῷ ἠγαπημένῳ, μεμαθητευμένος, τῷ ἀρυσαμένῳ, σοφίας τὴν ἄβυσσον.

Πλοῦτον καὶ δόξαν, λαμπρὰν καὶ μῆκος βίου, καὶ ζωὴν ἄφθαρτον, ἡ ἀληθὴς σοφία Χριστός σοι, δεδώρηται Πάτερ, ὡς διαφερόντως αὐτὸν ἀγαπήσαντι.

Θεοτοκίον.

Ὁ παλαιὸς ἡμερῶν, ὡς ἐπὶ πόκον ὑετὸς Πάναγνε, ἐπὶ τὴν σήν, γαστέρα κατῆλθε, τὴν ἡγιασμένην, καὶ νέος ἐφάνη, Ἀδὰμ ὁ φιλάνθρωπος.

Ὠιδὴ ς΄. Ὁ εἱρμός. Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος.

Νεκρωθεὶς θεηγόρε τῷ κόσμῳ παντί, μόνῳ δὲ Χριστῷ ζῶν καὶ πολιτευόμενος, πρὸς τὸν Χριστὸν μεθέστηκας, ζωτικὴν ἀφθαρσίαν καρπούμενος.

Εὐσχημόνως ὁδεύων Μακάριε, τέκνον τε φωτὸς καὶ εἰρήνης δεικνύμενος, τὸν τῆς νυκτὸς πρωτότοκον, καὶ πολέμιον ἔγνως Μαρκίωνα.

Νουθετούμενοι Πάτερ τοῖς λόγοις σου, πᾶσαν ἐκτρεπόμεθα βέβηλον αἵρεσιν, καὶ πονηρὰ συνέδρια, τῶν διττὰς πρεσβευόντων ἀρχὰς δυσσεβῶν.

Θεοτοκίον.

Ἁμαρτίαν τοῦ κόσμου τὸν αἴροντα, ἄχραντον Ἀμνὸν συλλαβοῦσα Πανάμωμε, ἁμαρτιῶν συγχώρησιν, ἐκδυσώπει δοθῆναι τοῖς δούλοις σου.

Κοντάκιον τοῦ Ἁγίου.
Ἦχος α΄. Χορὸς Ἀγγελικός.

Καρποὺς τοὺς λογικούς, τῷ Κυρίῳ προσφέρων, Πολύκαρπε σοφέ, ἀρετῶν δι᾽ ἐνθέων, ἐδείχθης ἀξιόθεος, Ἱεράρχα μακάριε· ὅθεν σήμερον, οἱ φωτισθέντες σοῖς λόγοις, ἀνυμνοῦμέν σου, τὴν ἀξιέπαινον μνήμην, δοξάζοντες Κύριον.

**Ὁ Οἶκος.**

Τὴν τῆς σοφίας χρηστότητα ἀρυσάμενος, ἐξ αὐτῆς Πάτερ ἔπλησας θεογνωσίᾳ τὴν ποίμνην σου, καὶ τῆς παναγίας καὶ ἀῤῥήτου Θεότητος τὸ τρισήλιον ἤστραψας, τοῦ Πατρὸς τὸ ἀγέννητον, Υἱοῦ δὲ τὴν γέννησιν, καὶ ἐκπόρευσιν Πνεύματος, μίαν Θεότητα, μίαν δόξαν τρανῶς ἐκδιδάξας, καὶ εἰδώλων ἀθεΐαν ἐκ ποδῶν ἀποποιήσας· καρποὺς δέ ὡρίμους, ψυχὰς πιστευόντων προσάγων τούτῳ ἔνδοξε, ἐν ᾧ βεβαπτίσμεθα, εἰς ὃν καὶ πιστεύομεν, δοξάζοντες Κύριον.

*Συναξάριον.*

**Τῇ ΚΓ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἁγίου ἐνδόξου Ἱερομάρτυρος Πολυκάρπου, Ἐπισκόπου Σμύρνης.**

Στίχοι.
*Σοὶ Πολύκαρπος ὡλοκαυτώθη Λόγε,*
*Καρπὸν πολὺν δοὺς ἐκ πυρὸς ξενοτρόπως.*
*Εἰκάδι ἐν τριτάτῃ κατὰ φλὸξ Πολύκαρπον ἔκαυσεν.*

**Ὑπόμνημα**

Οὗτος ἐμαθητεύθη τῷ Θεολόγῳ Ἰωάννῃ καὶ Εὐαγγελιστῇ, σὺν Ἰγνατίῳ τῷ Θεοφόρῳ· καὶ μετὰ Βουκόλον, τὸν ἁγιώτατον Ἐπίσκοπον Σμύρνης, χειροτονεῖται παρὰ τῶν Ἐπισκόπων, προθεσπίσαντος αὐτῷ τὴν ἱερωσύνην τοῦ μακαρίου Βουκόλου. Ἐν δὲ τῷ κατὰ Δέκιον διωγμῷ συλληφθείς, προσήχθη τῷ ἀνθυπάτῳ, καὶ διὰ πυρὸς ὡς κριός τις ἐπίσημος τοῦ Χριστοῦ τὸν ἀγῶνα διήνυσε, καὶ θαυμάτων ἐξαισίων δημιουργὸς γέγονε. Πρὸ γὰρ τῆς ἱερωσύνης, τῆς θρεψαμένης αὐτὸν

γυναικὸς τοὺς σιτῶνας ἐπλήρωσε διʾ εὐχῆς, οὓς πρότερον εἰς τὴν δεομένων χρείαν ἐκένωσε. Καὶ πυρὸς καταφλεγόντος ἐπέσχεν ὁρμήν, μετὰ τὴν τῆς ἱερωσύνης ἀνάῤῥησιν. Καὶ διʾ ἱκεσίας ὑετὸν αὐχμώσῃ τῇ γῇ κατήγαγε, καὶ πάλιν τούτου τὴν ἀμετρίαν ἀνέστειλε

.

## Τῇ αὐτῇ ἡμέρᾳ, ἡ ἁγία Γοργονία, ἡ ἀδελφὴ τοῦ ἁγίου Γρηγορίου τοῦ Θεολόγου, ἐν εἰρήνῃ τελειοῦται.

Στίχοι.

*Τιμῶ τελευτὴν σὴν σιγῇ, Γοργονία,*
*Γρηγορίου μέλψαντος αὐτὴν ἐκ λόγων.*

Γρηγορίου τοῦ Ναζιανζηνοῦ καὶ τῆς μακαρίας Νόννης θυγάτηρ ὑπάρξασα ἡ θεοσεβὴς αὕτη καὶ μακαρία Γοργονία, ἐχρημάτισεν τοιουτοτρόπως ὁμαίμων ἀδελφὴ τῶν ἐν ἁγίοις Γρηγορίου τοῦ Θεολόγου καὶ Καισαρίου. Πλήθει δ' ἀρετῶν κοσμήσασα ἑαυτὴν καὶ εὐχαῖς ἀδιαλείπτοις διατελοῦσα καὶ ἐλεημοσύναις πενήτων καὶ ὀρφανῶν διακονοῦσα, καίτοι δεσμοῖς τοῦ γάμου καὶ τῆς τῶν τέκνων ἀνατροφῆς ὑποκειμένη, λαμπρὰ εἰκὼν καὶ ὑπόδειγμα θεόφρονος γυναικὸς ὑπῆρξεν. Ἀσθενείαις δὲ σαρκὸς περικειμένη καὶ ὑπομονῇ καρτερικῇ διαβιοῦσα, ἠξιώθη ὁδηγῆσαι εἰς τὸ σωτήριον φῶς τοῦ Εὐαγγελίου τὸν ἑαυτῆς σύζυγον. Ἐν κλίνῃ δ' ἐπιθανατίῳ οὖσα καὶ τὸ ψαλμικὸν 'Εἰς χεῖράς σου, Κύριε, τὸ πνεῦμά μου παρατίθημι' ἐπειποῦσα, ἀπῆλθεν εἰς Ὃν ἐπόθησε Δεσπότην, ἀξιωθεῖσα λαμπρῶς κηδευθῆναι καὶ λόγῳ ἀριστοτέχνῳ ἐγκωμιασθῆναι ὑπὸ τοῦ αὐταδέλφου ἁγίου Γρηγορίου τοῦ Θεολόγου.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ὁσίων Πατέρων ἡμῶν, Ἰωάννου, Μωϋσέως, Ἀντιόχου καὶ Ἀντωνίνου.

Στίχοι

*Σύνταγμα τετράριθμον ἀνδρῶν τιμίων,*
*Συντάσσεταί σοι, καὶ μεθίσταται βίου.*

Τούτων, ὁ μὲν Ὅσιος Ἰωάννης γνώριμος καὶ μαθητὴς γέγονε Λιμναίου, τοῦ ἐν τῷ ὄρει, τῷ τῇ κώμῃ Ταργάλᾳ πελάζοντι, ἀσκήσαντος. Ῥαχίαν δὲ καταλαβὼν πάνυ δυσχείμερον καὶ προσάρκτιον, ἐνεννήκοντα πέντε ἡμέρας ἐκεῖσε διετέλεσε. Κἀκεῖθεν μεταβάς, πάλιν ὑπέστρεψε, καὶ πεποίηκε χρόνους εἰκοσιπέντε ὑπαίθριος. Τροφὴ δὲ ἦν αὐτῷ ἄρτος καὶ ἅλας· ἐσθὴς ἐκ τριχῶν· καὶ σιδήροις βαρυτάτοις ἅπαν τὸ σῶμα καθηλοῦτο. Ὑπὸ τούτων οὖν βαρυνόμενος, καὶ ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων φλεγόμενος, οὐδεμιᾶς ἠθέλησε πώποτε παραψυχῆς μετασχεῖν. Ἐπειδὴ γὰρ τῶν συνήθων τις παρὰ τὴν στιβάδα ἀμυγδαλῆν ἐφύτευσεν, ἥτις δένδρον τῷ χρόνῳ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

γενομένη, σκιὰν τῷ Ἁγίῳ παρεῖχεν, ἐκτμηθῆναι ταύτην προσέταξεν, ἵνα μηδεμιᾶς ἐκεῖθεν ἀπολαύσῃ παραψυχῆς. Ἐν τούτοις οὖν ἀγωνιζόμενος ὁ Ὅσιος Ἰωάννης, πρὸς Κύριον ἐξεδήμησεν. Ὁ δὲ παναοίδιμος Μωϋσῆς τὸν βίον τούτου ἠσπάσατο, ἐν ὑψηλῇ τῇ κορυφῇ Ῥαμᾷ, ὑπερκειμένῃ τῆς κώμης, ἀγωνιζόμενος. Καὶ ὁ μέγας Ἀντίοχος, ἀνὴρ πρεσβύτης, ἐν ἐρήμῳ τόπῳ τὸ θριγκίον δειμάμενος· καὶ ὁ τρισόλβιος ἐν γεγηρακότι σώματι Ἀντωνῖνος, τοῖς νέοις παραπλησίως ἀγωνιζόμενος ἦν· ἐσθὴς γὰρ ἦν αὐτοῖς ἡ αὐτή, καὶ τροφή, καὶ στάσις, καὶ προσευχαὶ παννύχιοι καὶ πανημέριοι. Καὶ οὔτε χρόνου μῆκος, ἢ γῆρας, οὐκ ἀσθένεια φύσεως ἤλεγξεν αὐτῶν τὴν καρτερίαν. Ἀλλ᾽ ὥσπερ ἀκμάζοντα ἐν αὐτοῖς ἔχοντες τὸν ἔρωτα τοῦ διὰ Χριστὸν πονεῖν, ἐν τοιαύτῃ πολιᾷ, ἐν εἰρήνῃ τὰς ἑαυτῶν ψυχὰς τῷ Θεῷ παρέθεντο. Τοσοῦτον ἀπώναντο τῆς βιοτῆς καὶ ἀσκήσεως τοῦ θείου Ἰωάννου.

**Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ἅγιος Μάρτυς Κλήμης ξίφει τελειοῦται.**

Στίχοι.

*Κλήμης, τὸ κλῆμα τῆς νοητῆς ἀμπέλου,*
*Καινόν τι γλεῦκος, αἷμα τμηθεὶς ἐκχέει.*

**Τῇ αὐτῇ ἡ μέρα, ἡ ἁγία μάρτυς Θεὴ ξίφει τελειοῦται.**

Στίχοι.

*Θεὴν ἀποσκώπτουσαν εἰς Θεοὺς πλάνους,*
*Οἱ τῆς πλάνης κτείνουσι προστάται ξίφει.*

**Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν ὁσίων πατέρων ἡμῶν Ζεβινᾶ, Πολυχρονίου, Μωσέως, καὶ Δαμιανοῦ.**

Στίχοι.

*Θεῖος Ζεβινᾶς λῆξιν εἰς θείαν φθάνει,*
*Λήξαντος αὐτῷ τοῦ παρ' ἀνθρώποις βίου.*
*Πολυχρόνιος, καὶ συνασκηταὶ δύω.*
*Οἱ τρεῖς ὁμοῦ πληροῦσι τοὺς ζωῆς χρόνους.*

**Ὁ ὅσιος Δαμιανός, ὁ ἐν τοῖς ὁρίοις τῆς κατὰ τὸν Ἄθω ἱερᾶς Μονῆς τοῦ Ἐσφιγμένου ἀσκήσας, ἐν εἰρήνῃ τελειοῦται ἐν ἔτει ᾳσπ´ (1280).**

Στίχοι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Δαμιανοῦ ὁ τάφος ἦν τῶν χαρίτων,*
*Λειμὼν γλυκύπνους· ὢ ξένης εὐωδίας!*

*Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ΄. Ὁ εἱρμός. Εἰκόνος χρυσῆς.

Στεῤῥῷ λογισμῷ, καιομένης τῆς φλογὸς ἐπέβης ἔνδοξε, ὡς οἱ τρεῖς Παῖδες οἱ τὴν κάμινον, πυρὶ ἀΰλῳ δροσίσαντες, μέσον δὲ πυρὸς ἀνακράζων, ἀκατάφλεκτος ἔμεινας· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Μακάριος εἶ, καὶ καλῶς σοι ἔσται νῦν κατασκηνώσαντι, ἔνθα Δικαίων τὰ σκηνώματα, ἔνθα Μαρτύρων στρατεύματα, ἔνθα τῶν σοφῶν Ἀποστόλων αἱ χορεῖαι κραυγάζουσιν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀκάρπους τὸ πρίν, πολυκάρπους τῷ Χριστῷ ψυχὰς προσήνεγκας, τῇ γεωργίᾳ τῇ τοῦ Πνεύματος, καθομαλίσας καὶ εὔσταχυν, ταύταις καταθέμενος σπόρον, καὶ κραυγάζειν ἐπαίδευσας· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Σὺ μόνη Θεοῦ, τοῦ τὰ σύμπαντα σοφῶς δημιουργήσαντος, Μήτηρ ἐδείχθης ἀπειρόγαμος, Παρθενομῆτορ Πανάχραντε· ὅθεν εὐσεβῶς σοι Παρθένε, ἀνακράζομεν λέγοντες· Εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠιδὴ η΄. Ὁ εἱρμός. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ἱερουργήσας εὐσεβῶς, τοῦ Χριστοῦ τὴν μυστικὴν ἱερουργίαν, λογικὸν ἱερεῖον, αὐτὸς προσήχθης Θεῷ θυσία δεκτὴ καὶ εὐάρεστος, ὁλοκαρπουμένη, Πολύκαρπε τρισμάκαρ.

Νεανικὴν ἐν πολιᾷ, βαθυτάτῃ τὴν ἀνδρείαν ἐπεδείξω, τοῦ Σταυροῦ τῇ δυνάμει, διαναστήσας σαὐτοῦ, πρὸς θείους ἀγῶνας τὸ φρόνημα, Ἱερομαρτύρων, Χριστοῦ κλέος θεόφρον.

Ἐπερειδόμενος Σταυρῷ, καὶ τὸν ἱεραρχικὸν κόσμον ἀξίως, ἐνδυσάμενος Πάτερ, εἰς τὸν ναὸν τοῦ Θεοῦ εἰσῆλθες ἰδίῳ σου αἵματι, τῷ Ἀρχιποίμενι, Χριστῷ ἐμφανισθῆναι.

Ὑπὲρ Χριστοῦ σφαγιασθείς, ὡς ἐπίσημος κριὸς Ἱεροφάντορ, μιμητὴς ἀνεδείχθης, τῶν παθημάτων αὐτοῦ, καὶ δόξης ἐγένου συμμέτοχος, καὶ τῆς βασιλείας, αὐτοῦ συγκληρονόμος.

Θεοτοκίον.

Φωτοειδὴς στῦλος πυρός, καὶ νεφέλη φωτεινὴ προηγουμένη, πρὸς οὐράνιον κλῆρον, Θεογεννῆτορ Ἁγνή, γενοῦ μοι Παρθένε πανάμωμε, τῷ ἐν τῇ ἐρήμῳ, τοῦ βίου πλανωμένῳ.

Ὠιδὴ θ΄. Ὁ εἱρμός. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἡ φωτοφόρος σου μνήμη, ἀνατείλασα Πάτερ, φωτίζει τὰς ψυχὰς τῶν εὐσεβῶς, ταύτην τελούντων θεσπέσιε, καὶ μετόχους τῆς θείας, φωτοφανείας πάντας ἐκτελεῖ· ἣν ἀξίως θεόφρον, ἐν ὕμνοις μεγαλύνομεν.

Μετὰ τῆς ἄνω χορείας, τῶν ἁγίων Ἀγγέλων, τῷ θρόνῳ τοῦ Δεσπότου παρεστώς, τοῦτον δυσώπει τοῦ φθάσαι ἡμᾶς, τὸ σωτήριον πάθος, καὶ τὴν αὐτοῦ ἀνάστασιν φαιδρῶς, ἀρετῆς πολυτρόπους, ἰδέας ἐκτελέσαντας.

Ἡ τῆς ἁγίας Τριάδος, κατανόησις Πάτερ, τρανῶς οὐκ ἐν αἰνίγμασιν ὡς πρίν, ὡς καθαρῷ τὴν καρδίαν σοι, διασχόντι τὴν ὕλην, καὶ τῶν δεσμῶν λυθέντι τῆς φθορᾶς, κατοπτεύεται μάκαρ, Πολύκαρπε πανόλβιε.

Στεφηφοροῦντά σε πάτερ, καὶ βραβεῖον τῆς νίκης, δεξάμενον ἐκ θείας δεξιᾶς, καὶ τοὺς ἀγῶνας τελέσαντα, καὶ φωτὸς πληρωθέντα,

πιστεύοντες Πολύκαρπε σοφέ, πρεσβευτὴν τῷ Χριστῷ σε, προθύμως προβαλλόμεθα.

Θεοτοκίον.

Ὡς Θεοτόκον σε Κόρη, καὶ Μητέρα τοῦ Λόγου, καὶ πρόξενον ὑπάρχουσαν ἡμῖν, τῆς ἀϊδίου καὶ θείας ζωῆς, ὡς τῆς δικαιοσύνης, τὸν Ἥλιον ἐκλάμψασαν Χριστόν, οἱ πιστοὶ ὁμοφρόνως, ἐν ὕμνοις μεγαλύνομεν.

Ἐξαποστειλάρια.
Τοῦ Ἁγίου. Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Πολλοὺς καρποὺς προσήνεγκας, Χριστῷ σοφὲ Πολύκαρπε, τοὺς διὰ σοῦ σεσωσμένους, βροτοὺς ἐκ πλάνης δαιμόνων, Ἱερομάρτυς ἔνδοξε, Ἀγγέλων ἰσοστάσιε, καὶ Ἀποστόλων σύσκηνε, μεθ' ὧν μνημόνευε Πάτερ, τῶν σὲ τιμώντων ἐκ πόθου.

Τῆς Ἁγίας. Ἦχος γ'. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῷ κόσμῳ τῶν ἀρετῶν σου, κεκοσμημένη φρονίμως, οὐ μόνον τὰ τῆς ψυχῆς σου, ἐδίωξας Γοργονία, ἀλλ' ὡς χριστόαπτος λύχνος, πολλοὺς ἐφώτισας Μῆτερ.

Θεοτοκίον, ὅμοιον.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις, Παρθένε Μῆτερ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι, τῶν αἰωνίων βασάνων.

**ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ**

Ψάλλομεν στιχηρὰ προσόμοια, τοῦ Ἁγίου Πολυκάρπου.
Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Μαθητὴς καὶ ὁμότροπος, καὶ τῆς χάριτος μέτοχος, ἱερὲ Πολύκαρπε ἐχρημάτισας, τοῦ τῆς σοφίας τὴν ἄβυσσον, πιστῶς ἐξαντλήσαντος, ἐκ


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν κόλπων τοῦ Χριστοῦ, καὶ τὸ φῶς τούτου δέδεξαι, ἐν καρδίᾳ σου· διὰ τοῦτο ποιμὴν καὶ ἱεράρχης, ἐνθεώτατος ὡράθης, τῆς Ἐκκλησίας μακάριε.

Φερωνύμως πολύκαρπος, ἀληθῶς ἀναδέδειξαι, ἱερὲ Πολύκαρπε ἐκ νεότητος, θαυμάτων βρύεις γὰρ χάριτας, ἐν Ἁγίῳ Πνεύματι, καὶ καρποὺς πνευματικούς, τῷ Χριστῷ πλείστους ἤνεγκας, θείῳ λόγῳ σου, καὶ ἐν τέλει ὡς κάρπωμα καὶ θῦμα, προσηνέχθης τῷ Κυρίῳ, ἐν τῷ πυρὶ τελειούμενος.

καὶ τῆς Ἁγίας. Ἦχος δ'. Ὁ ἐξ Ὑψίστου κληθείς

Ἐν διαθήκῃ σου ἔστης ἰσοβίως, καὶ τοῖς σοῖς παλαίσμασιν ἐπαλαιώθης καινῶς, ὦ Γοργονία φιλόλογε, τοῦ Θεολόγου, ἡ ὁμοπάτριος καὶ ὁμότροπος, Λόγον ἀγαπήσασα καὶ Λόγῳ ζήσασα, λόγοις τοῖς θείοις ἐφείλκυσας, πρὸς τὴν τοῦ Λόγου, ζωὴν καὶ γνῶσιν τὴν ὄντως μένουσαν, ὡς προσφορὰν σὸν ὁμόζυγον, ἐκ τοῦ σκότους τῆς πλάνης ἐξάξασα, κατὰ χάριν τὴν θείαν, αὐτοῦ μήτηρ χρηματίσασα.

Παρὰ Κυρίου κενὸς Μῆτερ οὐκ ἔσται, κόπος σου ὁ σύμβιος, ἀλλ' ἀφορμὴ δωρεῶν, ὡς ἔτι ζώσῃ σοι ἔδειξεν, ὅτε ἡ χείρ σου, ἡ ἐλεήμων οὐδόλως ἵδρωσεν, νύκτα καὶ ἡμέραν τε διακονοῦσα Αὐτῷ, διδοῦσα πᾶσι τὰ πρόσφορα, ἀδιακρίτως, ἀγάπης κέντρῳ ἐμπληττομένη σφοδρῷ, ἀλλὰ καὶ πόνοι οὓς ὑπέμεινας, οἱ τοῦ σώματος στέφη ἀμάραντα, παραδείσου ὦ μῆτερ, Γοργονία σοι προσάξουσι.

Δόξα. τοῦ Ἁγίου. Ἦχος πλ.α'.

Τῆς ἐν Χριστῷ ζωῆς, καρποφορῶν τὰς χάριτας, μαρτυρικῷ τέλει ἐλάμπρυνας, τὴν σὴν στολὴν ἱερώτατε. Ὅλον γὰρ τὸν βίον, τῇ εὐδοκίᾳ Θεοῦ ἀνέθου, τῆς εὐσεβείας διακονῶν τῷ λόγῳ τελειοτάτῃ ψυχῇ. Καὶ ὡς ἔννομος ἀθλητὴς ἀριστεύσας, ὡς προσφορὰν λογικὴν, σεαυτὸν προσήγαγες, διὰ πυρὸς τῷ Κυρίῳ. Ἀλλ' ὦ Ἱερομάρτυς Πολύκαρπε, Ἀποστόλων σύσκηνε, τῇ Ἁγίᾳ Τριάδι πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία καὶ ἀπόλυσις.

Εἰς τὴν Θείαν Λειτουργίαν
Τυπικά, Μακαρισμοί, αἱ γ' καὶ ϛ' ᾠδαί. Ἀπόστολος ὁ ἱεραρχικός (τοῦ ἁγ.Ἰω. Χρυσοστόμου).
**Εὐαγγέλιον τῆς Ἁγίας**
(Δευτέρα τῆς Λγ' ἑβδομάδος)

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

*Μεγαλυνάρια*

Χαίροις Ἀποστόλων ὁ κοινωνός, καὶ τῆς ἐν τῇ Σμύρνῃ, Ἐκκλησίας φωταγωγός, χαίροις Ἱεράρχα, καὶ Μάρτυς τοῦ Κυρίου, Πολύκαρπε παμμάκαρ, ἀξιοθαύμαστε.

Ἔχουσα τὸν πόθον τοῦ Ἰησοῦ, γοργῶς Γοργονία, ἐπορεύθης ὥσπερ δορκάς, εἰς πηγὰς ὑδάτων, τῶν κάτω παριδοῦσα, καὶ τῆς Σιὼν τῆς ἄνω, πολῖτις γέγονας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ